# Σάββατο 12 Ὀκτωβρίου 2019

Πρόβου, Ταράχου καὶ Ἀνδρονίκου μαρτύρων (†850)

Δομνίνης μάρτυρος, Συμεὼν τοῦ νέου θεολόγου (†1022)

## ΟΡΘΡΟΣ

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
**Ἀμήν.**
Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.
Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν ὁ θησαυρός τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.
**Ἀμήν.**
**Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς.** (γ΄)
**Δόξα... Καὶ νῦν...**
**Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.**
**Κύριε ἐλέησον.** (γ΄)
**Δόξα... Καὶ νῦν...**
**Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπί τῆς γῆς· τὸν ἄρτον ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.**
Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
**Ἀμήν.**

τροπάρια

**Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς**

louka.loukas@gmail.com

βασιλεῦσι, κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Δόξα Πατρί…

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός, εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων, τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Καὶ νῦν… Θεοτοκίον

Προστασία φοβερὰ καὶ ἀκαταίσχυντε, μὴ παρίδῃς, ἀγαθή, τὰς ἱκεσίας ἡμῶν, πανύμνητε Θεοτόκε, στήριξον ὀρθοδόξων πολιτείαν, σῷζε οὓς ἐκέλευσας βασιλεύειν, καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην, διότι ἔτεκες τὸν Θεόν, μόνη εὐλογημένη.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε, ἐλέησον. (γ′)

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Κύριε, ἐλέησον. (γ′)

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε, ἐλέησον. (γ′)

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τους αἰῶνας τῶν αἰώνων.

Ἀμήν. Ἐν ὀνόματι Κυρίου, εὐλόγησον, πάτερ.

Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

## Ἑξάψαλμος

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. (γ′)

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. (β′)

## ψαλμὸς γ´

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; Πολλοὶ ἐπανίστανται ἐπ’ ἐμέ.

Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.

Σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου, καὶ ὑψῶν τὴν κεφαλήν μου.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.

Ἐγὼ ἐκοιμήθην, καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι.

Ἀνάστα, Κύριε, σῶσόν με ὁ Θεός μου· ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως· ὀδόντας ἁμαρτωλῶν συνέτριψας.

Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

*καὶ πάλιν*

Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην ὅτι Κύριος ἀντιλήψεταί μου.

## ψαλμὸς λζ´ (37)

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ’ ἐμὲ τὴν χεῖρά σου.

Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου· οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.

Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ’ ἐμέ.

Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.

Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους· ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.

Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.

Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα· ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.

Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη.

Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ’ ἐμοῦ.

Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν, καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν.

Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου· καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.

Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ.

Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.

Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα· σὺ εἰσακούσῃ, Κύριε, ὁ Θεός μου.

Ὅτι εἶπον· μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου, καὶ ἐν τῷ σαλευθῆναι πόδας μου, ἐπ' ἐμὲ ἐμεγαλοῤῥημόνησαν.

Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου ἐστὶ διαπαντός.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.

Οἱ δὲ ἐχθροί μου ζῶσι, καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως.

Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν, ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.

Μὴ ἐγκαταλίπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.

Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

*καὶ πάλιν*

Μὴ ἐγκαταλίπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.

Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

## ψαλμὸς ξβ' (62)

Ὁ Θεὸς, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω.

Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου, ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ.

Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.

Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς· τὰ χείλη μου ἐπαινέσουσί σε.

Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.

Ὡς ἐκ στέατος καὶ ποιότητος ἐμπλησθείη ἡ ψυχή μου· καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.

Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ.

Ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου· ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.
Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου· εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς.
Παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.
Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ· ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

*καὶ πάλιν*

Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ, ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου· ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.
Δόξα Πατρί… Καὶ νῦν…
Ἀλληλούια, Ἀλληλούια, Ἀλληλούια, Δόξα σοι ὁ Θεὸς. (γʹ)
Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.
Δόξα Πατρί… Καὶ νῦν…

## ψαλμὸς πζʹ (87)

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.
Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.
Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ ᾍδῃ ἤγγισε.
Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον· ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος.
Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν.
Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς, καὶ ἐν σκιᾷ θανάτου.
Ἐπ᾿ ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ᾿ ἐμέ.
Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ᾿ ἐμοῦ· ἔθεντό με βδέλυγμα ἑαυτοῖς·
Παρεδόθην, καὶ οὐκ ἐξεπορευόμην· οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας.
Ἐκέκραξα πρὸς σέ, Κύριε, ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.
Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολογήσονταί σοι;
Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ

ἀπωλείᾳ;

Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου, καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;

Κἀγὼ πρὸς σὲ, Κύριε, ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε.

Ἵνα τί, Κύριε, ἀπωθῇ τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ;

Πτωχός εἰμι ἐγὼ, καὶ ἐν κόποις ἐκ νεότητός μου· ὑψωθεὶς δὲ, ἐταπεινώθην καὶ ἐξηπορήθην.

Ἐπ᾿ ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με.

Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ, ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα.

Ἐμάκρυνας ἀπ᾿ ἐμοῦ φίλον καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

καὶ πάλιν

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.

Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

## ψαλμὸς ρβʹ (102)

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου.

Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.

Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.

Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις.

Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.

Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.

Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.

Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ’ ἡμῶν τὰς ἀνομίας ἡμῶν.

Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν· ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν.

Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει.

Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.

Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.

Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ Ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ Δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ, οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

*καὶ πάλιν*

Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

## ψαλμὸς ρμβ′ (142)

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ’ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασιν τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου· Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί.

*καὶ πάλιν*

Εἰσάκουσόν μου, Κύριε, ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. (β΄)

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Δόξα Πατρὶ... Καὶ νῦν...

Ἀλληλούια, Ἀλληλούια, Ἀλληλούια. Δόξα σοι ὁ Θεός. (γ΄)

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

## Συναπτὴ μεγάλη

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.** (μετά ἀπό κάθε δέησιν)

Ὑπέρ τῆς ἄνωθεν εἰρήνης, καί τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καί τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ ἁγίου οἴκου τούτου, καί τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ ἀρχιεπισκόπου ἡμῶν..., τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ

διακονίας, παντὸς τοῦ κλήρου καί τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπέρ τῆς πόλεως καὶ ἐνορίας ταύτης, πάσης πόλεως, χώρας καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καί τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπέρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.
**Σοί, Κύριε.**
Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
**Ἀμήν.**

## Ἀπολυτίκια

**Ἦχος λ/π ᾳ Κε**

Ιωάννου Πρωτοψάλτου
Αναστασιματάριον 1905 σ.223#






Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.




Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Τὸν συνάναρχον Λόγον

Ἦχος λ/π ϙ̈ Κε

πρωτ.Κων.Παπαγιάννη
Μουσικόν Μηνολόγιον
2007 σ.88/2110






**Δόξα Πατρί...** τὸ ἴδιο

Θεοτοκίον

## Ἦχος λ π ϥ Κε

Ιωάννου Πρωτοψάλτου
Αναστασιματάριον 1905 σ.224#






Συναπτὴ μικρὰ

Ἔτι καὶ ἔτι... — Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον... — Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου... — Σοί, Κύριε.
Ὅτι σὸν τὸ κράτος... — Ἀμήν.

## Καθίσματα μετὰ τὴν α′ στιχολογίαν

μαρτυρικόν — Ἦχος Γα

πρωτ.Κων.Παπαγιάννη
Μουσική Παρακλητική
2004 σ.268/1124



μαρτυρικόν

# Ἦχος Γα

πρωτ.Κων.Παπαγιάννη
Μουσική Παρακλητική
2004 σ.273/1129



μαρτυρικόν

# Ἦχος Γα

πρωτ.Κων.Παπαγιάννη
Μουσική Παρακλητική
2004 σ.279/1135



Θεοτοκίον

# Ἦχος Γα

Ιωάννου Πρωτοψάλτου
Αναστασιματάριον 1905 σ.326#






## Καθίσματα μετὰ την β′ στιχολογίαν

μαρτυρικόν

### Ἦχος Γα

πρωτ.Κων.Παπαγιάννη
Μουσική Παρακλητική
2004 σ.262/1118




νεκρώσιμον

### Ἦχος Γα

πρωτ.Κων.Παπαγιάννη
Μουσική Παρακλητική
2004 σ.289/1145






Θεοτοκίον

## Ἦχος Γα

πρωτ.Κων.Παπαγιάννη
Μουσική Παρακλητική
2004 σ.289/1145






## ν΄ ψαλμός

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τε ταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς

ἐγκάτοις μου.
Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.
Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφοράν, καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

## Κανὼν εἰς πάντας τοὺς ἁγίους ᾠδὴ α΄

ὁ εἱρμὸς

**Ἦχος Γα**

πρωτ.Κων.Παπαγιάννη
Μουσική Παρακλητική
2004 σ.293/1149

Τῷ συνεργήσαντι Θεῷ, Μωϋσῇ ἐν Αἰγύπτῳ, ἐξαγαγεῖν τὸν Ἰσραήλ, αὐτῷ μόνῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασται.



Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Χορὸς μαρτύρων ἀπλανῶν, πᾶσαν πλάνην νικήσας, τοῦ πολεμήτορος, χορεύει γηθόμενος, πρὸ προσώπου τοῦ κτίσαντος.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Οἱ ἱεράρχαι τοῦ Χριστοῦ, καὶ οἱ ὅσιοι πάντες, ἀγωνισάμενοι, τρυφῆς ἠξιώθησαν, αἰωνίου ἐν χάριτι.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ῥῦσαι ἡμᾶς πάσης ὀργῆς, προφητῶν καὶ ὁσίων, καὶ γυναικῶν ἱερῶν, Χριστὲ παρακλήσεσι, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου Κύριε.

Ὁ διαπλάσας με ἐκ γῆς, καὶ εἰς γῆν πάλιν Λόγε, καθυποστρέφειν με, κελεύσας ἀνάπαυσον, οὓς ἐν πίστει μετέστησας.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὑπεραγία ἡ Θεόν, ὑπεράγιον Λόγον, ἀποκυήσασα, ἁγίασον ἅπαντας, τοὺς πίστει σε δοξάζοντας.

## Κανὼν εἰς κοιμηθέντας ᾠδὴ α΄

Νεύσει σου πρὸς γεώδη

Ἦχος Γα

Πρεσβείαις τῶν μαρτύρων σου ἀνάπαυσον, Κύριε, τὰς ψυχὰς τῶν δούλων σου.

Κόσμος ὡραϊσμένος, τῶν ἀρετῶν ταῖς ἰδέαις, καὶ θεῖον ἀνάθημα, τοῖς διαφόροις κάλλεσι, λάμπον ταῖς θεοσημείαις, μάρτυρες Χριστῷ, τῷ Θεῷ προσηνέχθητε.

Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.

Αἴγλης τῆς ἀπροσίτου, καὶ τρισηλίου λαμπάδος, τυχεῖν καταξίωσον, τοὺς μεταστάντας δούλους σου, ἔνθα ἀπέδρα ὀδύνη, λύπη στεναγμός, πολυέλεε Κύριε.

Καὶ τὸ μνημόσυνον αὐτῶν, εἰς γενεάν και γενεάν.

Νεκρώσει Ζωοδότα, κατακριθεῖσαν τὴν φύσιν, ζωὴ ἐνυπόστατος, ὑπάρχων

Χριστὲ ἤγειρας· ὅθεν ὡς μόνος οἰκτίρμων, πίστει τοὺς πρὸς σέ, μεταστάντας ἀνάπαυσον.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὤρθωσας Παναγία, τὴν τῆς προμήτορος πτῶσιν, τεκοῦσα τὸν Κύριον, τὸν ταύτην ἀνορθώσαντα, Λόγον τὸν ἐν τοῖς μνημείοις, πνέοντα ζωήν, ἐξουσίᾳ Θεότητος.

## Κανὼν τῶν μαρτύρων, ᾠδὴ α΄

Ἁρματηλάτην Φαραὼ

Ἦχος πλ. δ΄ Νη

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Μαρτυρικαῖς ἠγλαϊσμένοι χάρισι, τῷ στεφοδότῃ Χριστῷ, ἐν οὐρανοῖς πόθῳ, μάρτυρες παρίστασθε, φωτὶ καταυγαζόμενοι, τρισηλίου λαμπάδος, καὶ πάντας καταφωτίζετε, πίστει τοὺς ὑμᾶς μακαρίζοντας. (β΄)

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ἐν διωγμῷ τῆς εὐσεβείας ὤφθητε, πᾶσαν διώκοντες, τὴν δυσσεβῆ πλάνην, μάρτυρες ἀήττητοι, γενναίοις ἀγωνίσμασιν, ὡς καλοὶ στρατιῶται, ὡς Ἐκκλησίας ἐρείσματα, καὶ τῆς ἀληθείας κραταίωμα.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Λελογισμένῃ διανοίᾳ πάνσοφοι, ἀποκρουσάμενοι, τὴν πονηρὰν ζάλην, καὶ τὴν ἀγριαίνουσαν, τῆς ἀσεβείας θάλασσαν, ταῖς τοῦ Πνεύματος αὔραις, πρὸς τοὺς λιμένας ἐφθάσατε, τοὺς ἐπουρανίους γηθόμενοι.

Δόξα Πατρί...

Ψυχαῖς μαρτύρων τὰ ὑμῶν συγχαίρουσι, μάρτυρες πνεύματα, ἐν οὐρανοῖς ὄντως, Πρόβε καὶ Ἀνδρόνικε, καὶ Τάραχε μακάριε· ἀνδρικῶς γὰρ τοὺς πόνους, τῆς μαρτυρίας ἠνύσατε, νίκαις θεϊκαῖς κλεϊζόμενοι.

Καὶ νῦν... Θεοτοκίον

Ὁ τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, Λόγος συνάναρχος, παρθενικὴν μήτραν, βουληθεὶς κατῴκησε, καὶ σὰρξ ἀτρέπτως γέγονε· καὶ παθῶν ἑκουσίως,

μαρτύρων θεῖα στρατεύματα, πίστει ἐναθλεῖν παρεσκεύασεν.

## Κανὼν εἰς πάντας τοὺς ἁγίους ᾠδὴ γ´

ὁ εἱρμὸς

### Ἦχος Γα

πρωτ.Κων.Παπαγιάννη
Μουσική Παρακλητική
2004 σ.293/1149

Οἱ ὀρθρίζοντες Λόγε, εἰς δόξαν σὴν καὶ αἶνον, ἀνυμνοῦμεν ἀπαύστως, τὸν τύπον τοῦ Σταυροῦ σου, ὃν ἔδωκας ἡμῖν, ὅπλον εἰς βοήθειαν.




Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Συντριβόμενοι λίθοις, καὶ βόθροις ὁμιλοῦντες, συνετρίψατε πᾶσαν, τοῦ πλάνου δυναστείαν, καὶ ἄθραυστοι τὸν νοῦν, ἐμείνατε ἅγιοι.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Αἴγλη θείων δογμάτων, καὶ ἀρετῶν ταῖς ἀκτῖσιν, οἱ σοφοὶ ἱεράρχαι, πιστοὺς φωταγωγοῦντες, αἱρέσεων ἀχλύν, πᾶσαν διεσκέδασαν.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Νεκρωθέντες τῷ κόσμῳ, οἱ ὅσιοί σου Λόγε, ὑπερκόσμιον ὄντως, ζωὴν κληρονομοῦσι, δι᾽ ὧν ἡμᾶς Χριστέ, ἅπαντας οἰκτείρησον.

Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε.

Ὑπὲρ τῶν μεταστάντων, ἐν πίστει καὶ ἐλπίδι, ἱκετεύομεν πάντες, τὸν ἀγαθὸν Δεσπότην, τοῦ φείσασθαι αὐτῶν, ἐν ὥρᾳ τῆς κρίσεως.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Μὴ κενώσας τοὺς κόλπους, τοὺς πατρικοὺς ὁ Λόγος, σοῖς ἐν κόλποις ὡς βρέφος, κρατούμενος ὡράθη ἀρχὴν ἐκ σοῦ λαβών, ἄχραντε ὁ ἄναρχος.

## Κανὼν εἰς κοιμηθέντας ᾠδὴ γ΄

Ὁ κατ᾽ ἀρχὰς τοὺς οὐρανούς

### Ἦχος βαρύς

Πρεσβείαις τῶν μαρτύρων σου ἀνάπαυσον, Κύριε, τὰς ψυχὰς τῶν δούλων σου.

Νεανικὴν καὶ σταθηράν, τὴν καρτερίαν ἀνδρείως, οἱ μαρτύρων ἔδειξαν χοροί· τῶν γὰρ αἰκισμῶν τὴν ῥύμην ἤνεγκαν, καὶ τῶν βασάνων τὰς πληγάς, τῆς ἀκηράτου σου δόξης, Σῶτερ ἐφιέμενοι καὶ τέρψεως.

Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.

Τῆς αἰωνίου σου ζωῆς, τῶν ἐπ᾽ ἐλπίδι θανέντων, ἐλεῆμον πρόσδεξαι ψυχάς, καὶ τῶν ὀρεκτῶν καὶ θείων εὔσπλαγχνε, κόλπων τοῦ θείου Ἀβραάμ, ἔνδον σκηνώσας Λαζάρῳ καὶ τοῖς ἐκλεκτοῖς σου συναρίθμησον.

Καὶ τὸ μνημόσυνον αὐτῶν, εἰς γενεάν και γενεάν.

Ὁ καταβὰς ἐξ οὐρανοῦ, ἐπὶ τὸ σῶσαι τὸ γένος, τῶν ἀνθρώπων εὔσπλαγχνε Σωτήρ, ἀΰλου φωτὸς καὶ θείας δόξης σου, κατατρυφῆσαι καὶ χαρᾶς, τοὺς εὐσεβῶς μεταστάντας, τῇ σῇ εὐσπλαγχνίᾳ καταξίωσον.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νόμοι τῆς φύσεως ἐν σοί, τὸν ἀπερίληπτον Λόγον, συλλαβούσῃ λέλυνται Ἁγνή, καὶ νόμος ἡμῖν ὁ θεῖος δέδοται, πᾶσι τὴν ἄφεσιν διδούς, ἀπεγνωσμένοις πταισμάτων, χάριτι τῆς θείας ἀγαθότητος.

## Κανὼν τῶν μαρτύρων, ᾠδὴ γ΄

Οὐρανίας ἁψῖδος

## Ἦχος

**Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.**

**Ἰσχυρῶς τῷ διώκτῃ, ἀντιταχθεὶς Τάραχε, καὶ τὴν συντριβὴν τοῦ προσώπου, φέρων στερρότατα, μύλας συνέθλασας, τῶν νοουμένων λεόντων, ἀριστεὺς γενόμενος, σθένει τοῦ Πνεύματος.** (β΄)

**Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.**

**Μεγαλόφρονι γνώμῃ, τοὺς αἰκισμοὺς ἤνεγκας, νώτου καὶ γαστρὸς μάρτυς Πρόβε, διατεινόμενος, καὶ συμφλεγόμενος, τοῖς ὀβελίσκοις τὰ στέρνα, καὶ τὸ θεολόγον σου, στόμα τυπτόμενος.**

**Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.**

**Ἱερεῖον καθάπερ, ἀναρτηθεὶς ἔφερες, πόνους δριμυτάτων μαστίγων, μάρτυς Ἀνδρόνικε, πυρὸς κατάφλεξιν, ἐκρίζωσιν τῶν ὀδόντων, καὶ τῆς θεολόγου σου, γλώσσης ἀφαίρεσιν.**

**Δόξα Πατρί...**

**Τριφεγγεῖς ἀστέρες, ταῖς νοηταῖς λάμψεσιν, ἅπασαν ἐν δόξῃ τὴν κτίσιν, καταφωτίζετε, σκότος διώκοντες, τῆς πολυθέου ἀπάτης, ἀθλοφόροι μάρτυρες, θεοειδέστατοι.**

**Καὶ νῦν...** Θεοτοκίον

**Ὡς καλὴν ὡς ὡραίαν, ὡς ἐκλεκτὴν ἄχραντε, Λόγος ὁ τὸ πᾶν οὐσιώσας, σὲ ἐκλεξάμενος, σοῦ τὴν ἀμόλυντον, καὶ θεοδόχον γαστέρα, βουληθεὶς κατῴκησεν ὁ ὑπερούσιος.**

ὁ εἱρμὸς τῆς γ' ᾠδῆς

## Ἦχος

Ιωάννου Πρωτοψάλτου
Ειρμολόγιον Καταβασιών
1903 σ.470*






Μετά τὴν γ´ ᾠδὴ συναπτὴ μικρά

Ἔτι καὶ ἔτι... Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον... Κύριε, ἐλέησον.

Τῆς παναγίας, ἀχράντου... Σοί, Κύριε.

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν... Ἀμήν.

## Κάθισμα

Τὴν Σοφίαν

### Ἦχος δ´.

Τῆς ἁγίας Τριάδος τὴν κραταιάν, ὁπλισάμενοι πίστιν νεανικῶς, Ἀνδρόνικος, Πρόβος τε, καὶ ὁ πάνσοφος Τάραχος, τῆς πολυθέου πλάνης, τὸ κράτος διέλυσαν, καὶ λαοὺς πρὸς θείαν, ἀγάπην συνέδησαν· ὅθεν τὰ τῆς νίκης, κομισάμενοι γέρα, χοροῖς συνευφραίνονται, ἀσωμάτων δυνάμεων, οἷς ἐν πίστει βοήσωμεν· πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Δόξα... Καὶ νῦν ... Θεοτοκίον

Τοῦ ἡλίου νεφέλη τοῦ νοητοῦ, θείου φέγγους λυχνία χρυσοφαής, ἄσπιλε ἀμόλυντε, παναμώμητε Δέσποινα, τὴν σκοτεινὴν ψυχήν μου, τυφλώττουσαν πάθεσι, τῆς ἀπαθείας αἴγλῃ, καταύγασον δέομαι, καὶ μεμολυσμένην, τὴν καρδίαν μου πλῦνον, ῥοαῖς κατανύξεως, μετανοίας τε δάκρυσι, καὶ τοῦ ῥύπου

με κάθαρον, πρεσβεύουσα Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων δοῦναί μοι τὴν ἄφεσιν, τῷ εὐσεβῶς προσκυνοῦντι, τὸν πανάγιον τόκον σου.

## Κανὼν εἰς πάντας τοὺς ἁγίους ᾠδὴ δ´

ὁ εἱρμὸς

### Ἦχος Γα

πρωτ.Κων.Παπαγιάννη
Μουσική Παρακλητική
2004 σ.296/1152

Τὴν ἔνσαρκον παρουσίαν σου Χριστέ, πιστούμενος ὁ προφήτης, Ἀββακοὺμ ἐκραύγαζε· δόξα τῇ δυνάμει σου.




**Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.**

Νευρούμενοι τῇ πρὸς Κύριον στοργῇ, οἱ μάρτυρες, ἐξενεύρισαν ἐχθροῦ τὴν δύναμιν· ὅθεν μακαρίζονται.

**Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.**

Ὡς θρέμματα τοῦ ποιμένος καὶ ἀμνοῦ, μακάριοι, ἱεράρχαι λογικῆς προέστητε, ποίμνης θείᾳ χάριτι.

**Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.**

Πολύφωτοι ὡς ἀστέρες ἀρετῶν, λαμπρότητι, κατηυγάσατε πιστῶν πληρώματα, ὅσιοι πατέρες ἡμῶν.

**Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.**

Ὁμήγυρις στεῤῥοτάτων γυναικῶν, καὶ σύλλογος, τῶν ἁγίων προφητῶν τετύχηκε, τῶν ἐν οὐρανοῖς ἀγαθῶν.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἱκέτευε ὃν ἐκύησας Θεόν, πανύμνητε, πειρασμῶν παντοδαπῶν καὶ θλίψεων, ῥύσασθαι τὴν ποίμνην σου.

## Κανὼν εἰς κοιμηθέντας ᾠδὴ δʹ

Ὁ πατρικοὺς κόλπους μὴ λιπών

### Ἦχος βαρύς

Πρεσβείαις τῶν μαρτύρων σου ἀνάπαυσον, Κύριε, τὰς ψυχὰς τῶν δούλων σου.

Ἀθλητικοὺς πόνους καρτερῶς, ἐπιδειξάμενοι Χριστὲ οἱ μάρτυρες, τοὺς στεφάνους ἀνεδήσαντο, τῆς δικαιοσύνης σου, καὶ ἐδόξασάν σου τὴν δύναμιν.

Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.

Ὑπερφυοῦς δόξης σου Χριστέ, τοὺς μεταστάντας εὐσεβῶς ἀξίωσον, ὅταν ἔλθῃς ἐν τῇ δόξῃ σου, μετὰ τῶν ἀγγέλων σου, ὡς οἰκτίρμων καὶ πολυέλεος.

Καὶ τὸ μνημόσυνον αὐτῶν, εἰς γενεάν καὶ γενεάν.

Τρισσοφαοῦς αἴγλης ἀγαθέ, καὶ ἑνιαίας ἀστραπῇ Θεότητος, ἀπολαῦσαι καταξίωσον, τοὺς προεκδημήσαντας, καὶ δοξάζοντάς σε φιλάνθρωπε.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁ πατρικοὺς κόλπους μὴ λιπών, παρθενικοῖς κόλποις ὁ Χριστὸς αὐλίζεται, καὶ θανάτου ἐλυτρώσατο, τοὺς σὲ μακαρίζοντας, Θεομῆτορ μόνη πανύμνητε.

## Κανὼν τῶν μαρτύρων, ᾠδὴ δʹ

Σύ μου ἰσχύς, Κύριε

### Ἦχος πλ ἅ

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Νόμον τὸν σόν, Λόγε τηροῦντες οἱ μάρτυρες, τῶν ἀνόμων νόμους ἐβδελύξαντο, τοὺς ἀθετεῖν σε τὸν ποιητήν, ἐγκελευομένους, δαιμόνων ἐπιτηδεύμασι, καὶ πᾶσαν ὑποστάντες, τρικυμίαν βασάνων, οὐρανίου γαλήνης ἐπέτυχον. (βʹ)

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Στέργων Χριστοῦ, φέρειν ζυγὸν ἐπαυχένιον, τὸν αὐχένα χαίρεις συντριβόμενος, τὸν δὲ Σταυρόν, ῥάβδον κραταιᾶς, Τάραχε παμμάκαρ, δυνάμεως ἐπαγόμενος, τῶν ῥάβδων τὰς νιφάδας, ὑποφέρεις κραυγάζων· τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ὡς δυνατός, θείῳ γενόμενος Πνεύματι, τῶν κνημῶν σου, φέρεις τὴν ἐπώδυνον, καρτερικῶς, Πρόβε συντριβήν, καὶ τὴν τῶν ὀμμάτων, ἀφαίρεσιν φωτιζόμενος, τῇ γνώσει τῆς Τριάδος, τελεώτατον μάρτυς, καὶ τοῖς ἄνω χοροῖς συναπτόμενος.

Δόξα Πατρί...

Νεανικῶς, μάρτυς Ἀνδρόνικε ἵστασο, πρὸ βημάτων, ἀνταγωνιζόμενος, τῷ δυσμενεῖ, λίαν καρτερῶς· ὅθεν κατατέμνων, τὰς κνήμας σου εὐτονώτερον, εἰργάζετό σε κάραν, τὴν αὐτοῦ συμπατοῦντα, καὶ πορείαν τὴν ἄνω στελλόμενον.

Καὶ νῦν... Θεοτοκίον

Μόνη Θεόν, φέρεις ἐν μήτρᾳ σαρκούμενον, τὸν τὸ εἶναι, πᾶσι παρεχόμενον, ὃν ἐν σταδίῳ οἱ ἀκλινεῖς, καθομολογοῦντες, ἐνήθλησαν θεῖοι μάρτυρες. Παρθένε Θεοτόκε, τῶν ἀγγέλων τὸ θαῦμα, καὶ δαιμόνων τὸ τραῦμα πανύμνητε.

## Κανὼν εἰς πάντας τοὺς ἁγίους ᾠδὴ ε΄

ὁ εἱρμὸς

Ἦχος Γα

πρωτ.Κων.Παπαγιάννη
Μουσική Παρακλητική
2004 σ.297/1153

Ὀρθρίζει τὸ πνεῦμά μου, πρὸς σὲ ὁ Θεός, διότι φῶς εἶ, καὶ τὰ σὰ προστάγματα, ἐγένοντο ἰάματα, τοῖς δούλοις σου φιλάνθρωπε.






Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Μωλώπων σαρκὸς κατεφρονήσατε, στεῤῥοὶ ἀθληταὶ καὶ τοὺς μώλωπας πάντων, ἰᾶσθε καὶ τὰ τραύματα, τῶν προσερχομένων ὑμῖν.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ἐλάβετε λύειν καὶ δεσμεῖν ἐπὶ γῆς, τὴν ἐξουσίαν, ἱεράρχαι τοῦ Χριστοῦ· διὸ τὰ τῶν κακῶν ἡμῶν, ἀεὶ φορτία λύσατε.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Νοῒ καθαρῷ τῷ Θεῷ ἑνούμενοι, χοροὶ προφητῶν ἀποστόλων καὶ δικαίων, ἀσκητῶν γυναικῶν σεπτῶν, χορεύουσι γηθόμενοι.

νεκρώσιμον

Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε.

Ὡς μόνος ὑπάρχων πολυέλεος, τοὺς πίστει Χριστέ, μεταστάντας τοῦ βίου, τοῦ παραδείσου ποίησον, φιλάνθρωπε οἰκήτορας.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νυμφὼν ἀκατάλυτος ὀφθεῖσα Θεοῦ, δυσώπει αὐτόν, Παναγία Παρθένε, τοῦ νυμφῶνος οἰκήτορα, τοῦ νοητοῦ γενέσθαι με.

## Κανὼν εἰς κοιμηθέντας ᾠδὴ ε΄

Κύριε ὁ Θεός μου

### Ἦχος βαρύς

Πρεσβείαις τῶν μαρτύρων σου ἀνάπαυσον, Κύριε, τὰς ψυχὰς τῶν δούλων σου

Νέκρωσιν ζωηφόρον, διὰ τῶν βασάνων ἐξυφανθεῖσαν, πανεύφημοι μάρτυρες, περιβεβλημένοι φαιδρῶς, ταῖς ψυχαῖς τῶν προκοιμηθέντων, τὴν θείαν αἰτήσασθε ἄνεσιν.

Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.

Ἐκ τῶν ἀδαπανήτων, θησαυρῶν προχέων τὴν εὐσπλαγχνίαν, ψυχὰς ἃς μετέστησας, σὺν τοῖς πρωτοτόκοις σου, ἐν σκηναῖς ταῖς ἀκαταλύτοις, εὐδόκησον Σῶτερ αὐλίζεσθε.

Καὶ τὸ μνημόσυνον αὐτῶν, εἰς γενεάν και γενεάν.

Βάρος ἀποθεμένους, καὶ δεσμῶν λυθέντας νῦν πρὸς τὴν ἄνω, ζωὴν τοὺς οἰκέτας σου, μεταβεβηκότας Χριστέ, ἐντρυφᾶν ταῖς τῶν σῶν ἁγίων, λαμπρότησι Σῶτερ εὐδόκησον.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Δέσποινα Θεομῆτορ, τῶν ἐμῶν πταισμάτων λύσιν παράσχου, καὶ δός μοι συγχώρησιν, τῶν πλημμελημάτων μου, ἡ ζωὴν τῷ κόσμῳ τεκοῦσα Πανάμωμε τὴν ἐνυπόστατον.

## Κανὼν τῶν μαρτύρων, ᾠδὴ ε´

Ἵνα τί με ἀπώσω

Ἦχος λ π

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ἀκλινεῖς ὁδοιπόροι, τρίβου τῆς στενῆς καὶ τραχείας γεγόνατε, πειρασμῶν νιφάδας, ὡς ἀφροὺς θαλαττίους ὠθούμενοι, ἀρραγεῖς ὡς πύργοι, ὡς ἐπὶ πέτραν τὴν καρδίαν, ἀθλοφόροι ἑδράσαντες πίστεως.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ῥητορεύων τὰ θεῖα, καὶ θεολογῶν τὰ σωτήρια δόγματα, τῶν χειλέων φέρεις, τὰ σπαράγματα γνώμης στερρότητι, ἀποφράττων στόμα, κατὰ Θεοῦ Τάραχε μάκαρ, βλασφημίαν λαλοῦν τοῦ ποιήσαντος.

Δόξα Πατρὶ...

Τετραχῶς τεταμένος, καὶ ταῖς ἐκ μαστίγων πληγαῖς συνεχόμενος, τῆς ψυχῆς ἐδήλου, τὸ γενναῖον ὁ Πρόβος ἀνάστημα, στεφηφόρος· ὅθεν, ἀναδειχθεὶς σὺν τοῖς συνάθλοις, βασιλεῖ τῶν αἰώνων παρίσταται.

Καὶ νῦν... Θεοτοκίον

Ὑπερτέρα τῶν ἄνω, πέφυκας δυνάμεων, Λόγον κυήσασα, τοῦ Πατρὸς Παρθένε, τὸν συνάναρχον καὶ συναΐδιον, οὗ ταῖς φρυκτωρίαις, οἱ ἀθληταὶ καταυγασθέντες, ἀθεΐας τὴν νύκτα παρέδραμον.

## Κανὼν εἰς πάντας τοὺς ἁγίους ᾠδὴ ς´

ὁ εἱρμὸς

### Ἦχος Γα

Ιωάννου Πρωτοψάλτου
Ειρμολόγιον 1903 σ.466

Ὁ Ἰωνᾶς ἐκ κοιλίας ᾅδου ἐβόα· ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου, ἡμεῖς δέ σοι βοῶμεν· παντοδύναμε Σωτήρ, ἐλέησον ἡμᾶς.




Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Καθείλετε τοῦ ἐχθροῦ τὰς ἐπάρσεις, ὑψούμενοι πρὸς Θεὸν ἐν τοῖς ἄθλοις, πανένδοξοι ὁπλῖται, οἰκήτορες οὐρανῶν χρηματίζετε.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Αἱρέσεων τὸν χειμῶνα σοβοῦντες, οἱ τοῦ Χριστοῦ ἀληθεῖς ἱεράρχαι, πρὸς ἔαρ ἀληθείας, τὴν πληθὺν τῶν εὐσεβῶν μετεβίβασαν.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἰσχύϊ σου τῶν ὁσίων τὰ πλήθη, καὶ προφητῶν καὶ γυναίων ἁγίων, Χριστὲ δικαιωθέντα, τοῦ ἀδύτου φωτισμοῦ ἀπολαύουσιν.

**Μ**ακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε.

**Μ**ετέστησας τῶν προσκαίρων οἰκτίρμον, τοὺς δούλους σου, ἀλλ᾽ αὐτὸς αἰωνίου, μετασχεῖν εὐφροσύνης, καὶ ζωῆς ἀληθινῆς καταξίωσον.

**Ὑ**περαγία Θεοτόκε, σῶσον ἡμᾶς.

**Ἁ**γίασον, Παναγία Παρθένε, τοὺς δούλους σου, τὸν πανάγιον Λόγον σαρκὶ ἀποτεκοῦσα, ὃν ὑμνεῖ πᾶσα πνοὴ ἁγιάζουσα.

## Κανὼν εἰς κοιμηθέντας ᾠδὴ ς´

Ναυτιῶν τῷ σάλῳ

### Ἦχος βαρύς

**Π**ρεσβείαις τῶν μαρτύρων σου ἀνάπαυσον, Κύριε, τὰς ψυχὰς τῶν δούλων σου

**Ὁ** χορὸς μαρτύρων, τὰς δυσφορωτάτας ὀδύνας, στεῤῥῶς καρτερήσαντες, τὰς ἀπόνους, καὶ ἀνωδύνους τρυφὰς ἐκαρπώσαντο, τῆς δικαιοσύνης τοὺς στεφάνους, ἐκ τῆς ζωηφόρου δεξιᾶς δεξάμενοι.

**Α**ἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.

**Μ**ετὰ τῶν δικαίων, ἔνθα τῶν ἀγγέλων χορεῖαι, καὶ ὅπου λαμπρότητες τῶν ἁγίων, καὶ αἰωνίου ζωῆς ἀπόλαυσις, τοὺς προκοιμηθέντας σου οἰκέτας, τάξον ἐλεῆμον ὡς Θεὸς ἀθάνατος.

**Ὑ**περαγία Θεοτόκε, σῶσον ἡμᾶς.

**Ὁ** βουλήσει θείᾳ, δημιουργικῇ τε δυνάμει, τὸ πᾶν συστησάμενος ἐκ μὴ ὄντων, ἐκ τῆς γαστρός σου Ἁγνὴ προελήλυθε, καὶ τοὺς ἐν τῷ σκότει τοῦ θανάτου, θεαρχικωτάταις ἀστραπαῖς κατέλαμψε.

## Κανὼν τῶν μαρτύρων, ᾠδὴ ς´

Ἱλάσθητί μοι Σωτὴρ

### Ἦχος 

**Ἅ**γιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

**Ῥ**ομφαία τοῦ δυνατοῦ, γενόμενοι διὰ πίστεως, καρδίας τῶν ἀσεβῶν, ἀνδρείως ἐτρώσατε, ἀνταγωνισάμενοι, κατ᾽ αὐτῶν γενναίως, ἀθλοφόροι μεγαλώνυμοι.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ὡς πάλαι τὸν Δανιήλ, ἐν λάκκῳ θῆρες ᾐδέσθησαν· οὕτω καὶ νῦν τοὺς στερρούς, ὁπλίτας τῆς χάριτος, ἐν σταδίῳ ἔπτηξαν, κατευλαβηθέντες, τὰ σεπτὰ τούτων παθήματα.

Δόξα Πατρί...

Νυγεῖσάν σου τὴν πλευράν, ἐξεικονίζων ὁ Τάραχος, εἰσδέχεται ταῖς πλευραῖς, κεντήματα Δέσποτα, καὶ ὄξος ποτίζεται, καὶ πυρὶ τὴν κάραν, ὠμοτάτως καταφλέγεται.

Καὶ νῦν... Θεοτοκίον

Συνέλαβες ἐν γαστρί, τὸν προαιώνιον ἄχραντε, καὶ τέτοκας ἐν σαρκί, τὸν φύσει ἀπρόσιτον, καὶ γάλα ἐπότισας, τὸν τροφέα πάντων, Θεομῆτορ ἀπειρόγαμε.

ὁ εἱρμὸς τῆς ς' ᾠδῆς

Ἦχος

Ιωάννου Πρωτοψάλτου
Ειρμολόγιον 1903 σ.472@




Μετά τὴν ς' ᾠδὴ συναπτὴ μικρά

Ἔτι καὶ ἔτι... Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον... Κύριε, ἐλέησον.

Τῆς παναγίας, ἀχράντου... Σοί, Κύριε.

Σὺ γὰρ εἶ ὁ βασιλεὺς... Ἀμήν.

## Κοντάκιον

Τὰ ἄνω ζητῶν **Ἦχος β΄.**

**Τριάδος ἡμῖν, τὴν δόξαν ἐμφανίσαντες, γενναῖοι Χριστοῦ, ὁπλῖται θεῖοι μάρτυρες, σὺν Ταράχῳ Πρόβος τε καὶ Ἀνδρόνικος, ἤλεγξαν ἅπασαν, τῶν τυράννων ἀθεότητα, τῇ πίστει γενναίως ἐναθλήσαντες.**

## Οἶκος

**Του Ἰησοῦ τὰ πάθη γενναίως μιμησάμενοι, ἅμα σὺν Ταράχῳ τῷ σοφῷ, ὁ Πρόβος τε καὶ Ἀνδρόνικος, χαίροντες ἤχθησαν ἐν σταδίῳ, παρανόμων ἐλέγχοντες ἀθεΐαν. Ὅθεν ἡμεῖς οἱ ἐκ πόθου τιμῶντες τὴν μνήμην αὐτῶν, ἐν ὕμνοις ἀνευφημοῦμεν, καὶ πιστῶς τοὺς ἀγῶνας κηρύττομεν· ἐθαυμάστωσε γὰρ ὁ Κύριος, ὡς φωστῆρας ἐν κόσμῳ, τῇ πίστει γενναίως ἐναθλήσαντες.**

## Συναξάριον

**Τῇ ιβ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τῶν ἁγίων μαρτύρων Πρόβου, Ταράχου, καὶ Ἀνδρονίκου.**

στίχοι
Ξίφει Τάραχος, Ἀνδρόνικος καὶ Πρόβος,
Ἤραντο νίκην, γῆν προβάντες ταράχου.
Τμήθη δωδεκάτῃ, Πρόβος, Ἀνδρόνικος, Τάραχός τε.

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας καλλινίκου μάρτυρος Δομνίνης.**

στίχοι
Μέλη Δομνῖνα καί περ ἐξαρθρουμένη,
Οὐκ ἦν ἀληθῆ πίστιν ἐξαρνουμένη.

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας μάρτυρος Ἀναστασίας τῆς Παρθένου.**

στίχοι
Ἡγεῖτο λαιμοῦ τὴν τομὴν ἀσπασίαν,
Ἡ καλλίνικος μάρτυς Ἀναστασία.

**Τῇ αὐτῇ ἡμέρᾳ, οἱ ἅγιοι ἑβδομήκοντα μάρτυρες, ξίφει τελειοῦνται.**

στίχοι

Τέθνηκεν ἀνδρῶν ἑβδομηκοντὰς ξίφει,
Θνήσκειν ἑτοίμη, εἰ δέοι, καὶ πολλάκις.

**Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἅγιος Θεόδοτος, ἐπίσκοπος Ἐφέσου ἐν εἰρήνῃ τελειοῦται.**

στίχοι

Ὁ Θεόδοτος γήινον λιπὼν θρόνον,
Τὸν λαμπρὸν εὗρε τῆς ἄνω δόξης θρόνον.

**Τῇ αὐτῇ ἡμέρᾳ, αἱ ἅγιαι μάρτυρες Μαλφεθά, Ἀνθία καὶ οἱ μάρτυρες, Ἰουβεντῖνος, Μάξιμος, Ἀνδρόμαχος καὶ Διόδωρος, ξίφει καὶ πυρὶ τελειοῦνται.**

στίχοι

Οὐ μαλθακόν τι Μαλφεθὰ βλέπειν ἔχει,
Τόξον κατ᾽ αὐτῆς εὐτόνως τεταμένον.

Εἰς βοῦν ἀπανθεῖς ἔμπυρον βεβλημένη,
Ἐν οὐρανῷ δὲ λαμπρὸν ἀνθεῖς, Ἀνθία.

Ἰουβεντῖνος Μαξίμῳ τμηθεὶς ἅμα,
Χορῷ συνήφθη μαρτύρων σὺν Μαξίμῳ.

Μάχου πρὸς ἐχθρούς, Ἀνδρόμαχε, Κυρίου,
Κἂν τοῦ πυρὸς σύνθνησκε τῷ Διοδώρῳ.

**Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἅγιος Ἰάσων, ἐπίσκοπος Δαμασκοῦ, ἐν εἰρήνῃ τελειοῦται.**

στίχοι

Παθῶν Ἰάσων τὰς βάρεις καταστρέφει,
Πύργους ἐγείρας ἀρετῶν πρὸ τοῦ τέλους.

**Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.**

## ὁ εἱρμὸς τῆς η᾽ ᾠδῆς

**Ἦχος** 




Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.

θ΄ ᾠδὴ τῆς Θεοτόκου

# Ἦχος λ/π Νη

πρωτ.Κων.Παπαγιάννη
Μουσικόν Τριώδιον Β'
2003 σ.36#




ου σι με πα σαι αι γε νε αι
Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι ι ι τως των Σε ρα φιμ την α
δι α φθο ρως Θε ον Λο ο γον τε κου σαν την ον
τως Θε ο το κον σε ε με γα λυ υ νο ο μεν
Ο τι ε ποι η σε μοι με γα λει α ο δυ
να τος και α γι ον το ο νο μα αυ του και το
ε λε ος αυ του εις γε νε αν και γε νε αν τοις φο βου
με νοις αυ τον
Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο


ξο τε ραν α συγ χρι ι ι τως των Σε ρα φιμ την α
δι α φθο ρως Θε ον Λο ο γον τε κου ου σαν την ον
τως Θε ο το κον σε ε μεγα λυ υ νο ο μεν
Ε ποι η σε κρα τος εν βρα χι ο νι αυ
του δι ε σκορ πι σεν υ περ η φα νους δι α νοι
α καρ δι ας αυτων
Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ χρι ι ι τως των Σε ρα φιμ την α
δι α φθο ρως Θε ον Λο ο γον τε κου ου σαν την ον
τως Θε ο το κον σε ε μεγα λυ υ νο ο μεν


Κ α θει λε δυ να στας α πο θρο νων και υ
υ ψω σε τα πει νους πει νων τας εν ε πλη σεν α γα
θων και πλου τουν τας εξ α πε στει λε κε νους
Τ ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ την α δι
α φθο ρως Θε ον Λο ο γον τε κου σαν την ο ο ον
τως Θε ο το κον σε ε μεγα λυ υ νο ο μεν
Α ν τε λα βε το Ισ ρα ηλ παι δος αυ του
μνη σθη ναι ε λε ους κα θως ε λα λη σε προς τους
πα τε ρας η μων τω Α βρα αμ και τω σπερ μα τι




ὁ εἱρμὸς τῆς θ’ ᾠδῆς

## Ἦχος λ π Νη

Ιωάννου Πρωτοψάλτου
Ειρμολόγιον 1903 σ.313@






Ἦχος λ π Νη

πρωτ.Κων.Παπαγιάννη
Μουσικόν Τριώδιον Β'
2003 σ.38#




Συναπτὴ μικρά

Ἔτι καὶ ἔτι... — Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον... — Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου... — Σοί, Κύριε.
Ὅτι σὲ αἰνοῦσι... — Ἀμήν.

# Ἐξαποστειλάρια

τῷ Σαββάτῳ

## Ἦχος Γα

πρωτ.Κων.Παπαγιάννη
Μουσική Παρακλητική
2004 σ.504




Τοῖς Μαθηταῖς

## Ἦχος β΄.

Πολυειδεῖς οἱ μάρτυρες, αἰκισμοὺς ἐνεγκόντες, πολλῶν ἐπάθλων ἔτυχον, καὶ βραβείων τῆς νίκης, παρὰ Χριστοῦ τοῦ Σωτῆρος, Τάραχος ὁ θεόφρων καὶ Πρόβος καὶ Ἀνδρόνικος, οἱ στερροί, ἀθλοφόροι, ὧν τὴν σεπτήν, ἐκτελοῦντες μνήμην, τούτους τιμῶμεν, ὑπὲρ ἡμῶν πρεσβεύοντας, τοῦ ῥυσθῆναι πταισμάτων.

### Θεοτοκίον

Ἁμαρτιῶν πελάγει με, καὶ παθῶν ἐν τῇ ζάλῃ, διηνεκῶς ποντούμενον, πρόφθασον Θεοτόκε, τῇ παναλκεῖ σου δυνάμει, καὶ διάσωσον τάχος, καὶ πρὸς λιμένα ἴθυνον, μετανοίας με ὅπως, δοξολογῶ, σὸν Υἱὸν ὃν ἔτεκες ἀπορρήτως, καὶ σὲ τὴν Θεομήτορα, εὐλαβῶς μεγαλύνω.

### Ψαλμοὶ αἴνων

## ψαλμός ρμη´ (148)

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.
Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ.
Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη· αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.
Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.
Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.
Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.
Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.
Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.
Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι.
Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.
Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ τῆς γῆς.
Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.
Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.
Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

## ψαλμός ρμθ´ (149)

ᾎσατε τῷ Κυρίῳ ᾆσμα καινόν ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.
Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.
Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.
Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.
Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.
Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.
Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.
Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

## ψαλμός ρν' (150)

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.
Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.
Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.
Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ .
Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλλαλαγμοῦ,
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Δοξολογία

Σοὶ δόξα πρέπει, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

